Ακαδημία Αθηνών / Academy of Athens

**συμβαίνειν** (συνών. *συνέρχεσθαι*) **1.** Συμβαίνει/συνέπεται, it comes together/it follows, Μέλισσος 8(3) *ὥστε σ υ μ β α ί ν ε ι μήτε ὁρᾶν μήτε τὰ ὄντα γινώσκειν* **2.** Συνέρχομαι/σμίγω, come together/mate, Ἐμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σ ὺ ν δ' ἔ β η ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται* **3.** Συμβαίνει/γίνεται, it happens/it occurs, Ἀρχύτας 1.32-36-47 *ἔτι δὲ καὶ τοῦτο σ υ μ β α ί ν ε ι ὥσπερ ἐπὶ βελῶν ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς σ υ μ β ή σ ε τ α ι ... ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ σ υ μ β α ί ν ε ι· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δέ, ὀξύν.* || Δημόκριτος 191.13 *καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι σ υ μ β α ί ν ῃ κακοπαθεῖν τῇ ψυχῇ.*

**συμβάλλεσθαι.** Συμφωνῶ/συνομολογῶ, agree/admit, Ἡράκλειτος 47 *μὴ εἰκῇ περὶ τῶν μεγίστων σ υ μ β α λ λ ώ μ ε θ α.*

**σύμβολον 1.** Σύμβολο/ἀλληγορικὸ παράγγελμα, symbol/allegorical precept, Πυθαγόρειοι C 6 (DK I 465,21) Ἀναξίμανδρος Ἀναξιμάνδρου Μιλήσιος ὁ νεώτερος ἱστορικός· γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος· ἔγραψε *Σ υ μ β ό λ ω ν Πυθαγορείων ἐξήγησιν* **2.** Σημεῖο/προμήνυμα, sign/omen, Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σ ύ μ β ο λ ο ν.* Πρβλ. *σῆμα, σημεῖον.*

**σύμμεικτος.** Σύμμεικτος, miscellaneous, Δημόκριτος 11i (τίτλ.) *Αἰτίαι σ ύ μ μ ε ι κ τ ο ι.*

**συμμένειν.** Συμπαραμένω, stay together, Λεύκιππος A 1 (DK II 71,4-8) τὰ δὲ λοιπὰ (sc. σώματα) *σ υ μ μ έ ν ε ι ν* καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδὲς ... καὶ οὕτω γενέσθαι τὴν γῆν, *σ υ μ μ ε ν ό ν τ ω ν* τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον A 14 (DK II 75,29) τὰς δὲ (sc. ἀτόμους) περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν καὶ *σ υ μ μ έ ν ε ι ν* καὶ οὕτως τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι Δημόκριτος A 37 (DK II 93,33-37) τοῦ δὲ *σ υ μ μ έ ν ε ι ν* τὰς οὐσίας μετ'

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων ... ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ *σ υ μ μ έ ν ε ι ν*, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. || (ἀντίθ. *ἐκπτύεσθαι*). Δημόκριτος Α 152 (DK II 125,38) οὐκοῦν ἐν *κρυμῷ* μὲν ... *σ υ μ μ έ ν ε ι* (sc. τὸ ἔμβρυον), *ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεται.*

**συμμετρίη** (ἀντίθ. *ἀμετρίη*). Συμμετρία, symmetry, Δημόκριτος Α 167 (DK II 129,15) *σ υ μ μ ε τ ρ ί α ν* τε καὶ *ἀταραξίαν* 191 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου σ υ μ μ ε τ ρ ί ῃ.*

**συμμέτρως.** Μὲ τὸ προσῆκον μέτρο/μὲ τὴ δέουσα ἀναλογία, with the proper measure/in the necessary proportion, Δημόκριτος Α 135 (DK II 116,28) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γίνεται σ υ μ μ έ τ ρ ω ς ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρῆσιν.* Πρβλ. *συμμετρίη.*

**σύμμιξις** (συνών. *μίξις*, ἀντίθ. *ἀπόκρισις*). Σύμμιξη, mixing, Ἀναξαγόρας 4.14 *πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σ ύ μ μ ι ξ ι ς πάντων χρημάτων.* Πρβλ. *συμμίγεσθαι.*

**συμμίσγειν** (ἀντίθ. *ἀποκρίνειν*). Συμμιγνύω, mix together, Ἀρχύτας Α 17 (DK I 429,22) *σ υ μ μ ί σ γ ε ι ν* δὲ λέγουσιν οἱ Πυθαγόρειοι τὸ ἕνα ἐξ ἀμφοτέρων ἀριθμὸν λαβεῖν. || **συμμίσγεσθαι** (συνών. *μειγνύναι*, *συγκρίνεσθαι*, ἀντίθ. *ἀποκρίνεσθαι*, *διακρίνεσθαι*). Συμμιγνύομαι/συνενώνομαι, be mixed together/be united, Ἡράκλειτος 67 *ὁπόταν σ υ μ μ ι γ ῇ θυώμασιν* Ἀναξαγόρας 12.7-15 *καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ σ υ μ μ ε μ ε ι γ μ έ ν α ... καὶ τὰ σ υ μ μ ι σ γ ό μ ε ν ά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα πάντα ἔγνω νοῦς* 17 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων σ υ μ μ ί σ γ ε τ α ί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι σ υ μ μ ί σ γ ε σ θ α ι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.* Πρβλ. *σύμμιξις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ